dorf unter B verzeichneten Noten wohl grössten Theils von Thomas Magister her. Zur Begründung dieser meiner Ansicht gestatte ich mir, die Scholien zu den ersten Versen der Septem mitzutheilen:

*Σχολ. παλ.*

1) *Χρὴ λέγειν· λείπει τὸν ἐκεῖνον· καίρια δὲ τὰ ἀναγκαῖα, παρακαίρια δὲ τὰ ἄδικα.*

2) *ἐν πρύμνῃ· ἐν ἐξουσίᾳ.* Offenbar hat sich der Epitomator verschrieben, statt *πρᾶγος· ἐξουσίαν* und *ἐν πρύμνῃ· ἐν ἀρχῇ.*

3) *οἴακα νωμῶν· τὸν τῆς πόλεως κυρερνήτην.* l. *τὴν τῆς πόλεως κυβέρνησιν.*

4) *εἰ μὲν γὰρ εὖ πράξαιμεν· τῆς εὐπραγίας ἡ αἰτία ἐπὶ τοὺς θεούς, τῆς δὲ δυσπραγίας ἐπὶ τοὺς ἄρχοντας* (*ἀναφέρεται* add.).

6) *εἷς· ἀντὶ τοῦ μόνος·*

7) *πολυρρόθοις· λοιδόροις· τὸ ὑμνεῖσθαι μέσον.* Hierfür ist augenscheinlich zu schreiben: *ὑμνοῖθ'· λοιδοροῖτο· τὸ ὑμνεῖσθαι μέσον.*

*Σχολ. νεωτ.*

1) *Κάδμου πολῖται· ὁ Ἐτεοκλῆς προλογίζει καὶ παρασκευάζων τὸν λαὸν ἅπαντα τῶν Θηβαίων πρὸς φρουρὰν τῆς πόλεως, φησὶν, ὦ Κάδμου πολῖται, ἤτοι - ὦ Θηβαῖοι, πρέπει λέγειν τὰ καίρια καὶ τὰ ἐνδεχόμενα, ἢ τὰ ἀναγκαῖα, τὸν ἄνθρωπον ἐκεῖνον ὅστις φυλάσσει καὶ ἔχει καὶ φέρει τὸ πρᾶγος, ἤγουν πρᾶγμα και ἐξουσίαν ἐν πρύμνῃ ἤγουν ἐν τῇ ἀρχῇ, νωμῶν καὶ κινῶν καὶ οἰκονομῶν οἴακα πόλεως, ἤγουν τὴν τῆς πόλεως κυβέρνησιν, μὴ κοιμῶν καὶ κομίζων καὶ ἀναπαύων τοὺς ὀφθαλμοὺς ἐν ὕπνῳ. τροπικῶς δὲ τῷ λόγῳ ἐχρήσατο ὁ ποιητὴς, πρύμνην μὲν τὴν ἀρχὴν ὀνομάσας τῆς πόλεως, οἴακα δὲ τὴν ταύτης κυβέρνησιν.* A.

4) *εἰ μέν γὰρ εὖ πράξαιμεν· εἰ μὲν γὰρ καλῶς, φησὶ, πράξαιμεν, τῆς εὐπραγίας ἡ αἰτία ἐπὶ τοὺς θεοὺς ἀναφέρεται, τῆς δὲ δυςπραξίας ἐπὶ τοὺς ἄρχοντας· διὸ καί φησιν, εἰ δ' αὖτε καὶ πάλιν συμφορὰ καὶ δυστυχία τύχοι, ἤγουν ἐὰν δυστυχήσωμεν καὶ κακῶς πάθωμεν* (*ὅπερ εἴθε μὴ γένοιτο*) *ὁ Ἐτεοκλῆς ἂν* (*τουτέστιν ἐγὼ*) *εἷς ὢν πολὺς κατὰ πόλιν ὑμνοῖτο καὶ λοιδοροῖτο*

SLUB
Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG